τῷ ΒΤ ἐστὶν ἴσον· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς
ΖΚ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ὧν, αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ
τῶν αὐτῶν εὐθειῶν· τὸ δὲ ΓΛ στερεὸν τῷ ΔΦ ἐστὶν
ἴσον· ἐπί τε γὰρ πάλιν τῆς αὐτῆς βάσεώς ἐστι τῆς
ΞΡ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ὧν, αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ
τῶν αὐτῶν εὐθειῶν· καὶ τὸ ΒΤ ἄρα στερεὸν τῷ ΔΦ στε-
ρεῷ ἴσον ἐστί· τῶν δὲ ἴσων στερεῶν παραλληλεπι-
πέδων ὧν, τὰ ὕψη πρὸς ὀρθάς ἐστι ταῖς βάσεσιν αὐ-
τῶν. ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν
ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ βάσιν. οὕτως τὸ τοῦ
ΔΦ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ στερεοῦ ὕψος· ἴση δὲ
ἡ μὲν ΖΚ βάσις τῇ ΕΘ βάσει. ἡ δὲ ΞΡ βάσις τῇ ΝΠ
βάσει· ἔστιν ἄρα ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν.
οὕτως τὸ τοῦ ΔΦ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ ὕψος·
τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν ΔΦ ΒΤ στερεῶν καὶ τῶν ΔΓ ΒΑ·
ἔστιν ἄρα ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βάσιν, οὕτως
τὸ τοῦ ΔΓ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος·
τῶν ΑΒ ΓΔ στερεῶν ἄρα παραλληλεπιπέδων. ἀντι-
πεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· πάλιν δὴ τῶν
ΑΒ ΓΔ στερεῶν παραλληλεπιπέδων ἀντιπεπον-
θέτωσαν αἱ βάσεις τοῖς ὕψεσιν. καὶ ἔστω ὡς ἡ ΕΘ βάσις
πρὸς τὴν ΝΠ βάσιν. οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος
πρὸς τὸ τοῦ ΑΒ στερεοῦ ὕψος· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒ
στερεὸν τῷ ΓΔ στερεῷ· τῶν γὰρ αὐτῶν κατασκευ-
ασθέντων ἐπεί ἐστιν ὡς ἡ ΕΘ βάσις πρὸς τὴν ΝΠ βά-
σιν. οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ

στερεοῦ ὕψος· ἴση δὲ ἡ μὲν ΕΘ βάσις τῇ ΖΚ βάσει. ἡ δὲ
ΝΠ τῇ ΞΡ· ἔστιν ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ βά-
σιν. οὕτως τὸ τοῦ ΓΔ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΑΒ στε-
ρεοῦ ὕψος· τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν ΑΒ ΓΔ στερεῶν καὶ
τῶν ΒΤ ΔΦ· ἔστιν ἄρα ὡς ἡ ΖΚ βάσις πρὸς τὴν ΞΡ
βάσιν. οὕτως τὸ τοῦ ΔΦ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΤ
στερεοῦ ὕψος· τῶν ΒΤ ΔΦ ἄρα στερεῶν παραλληλε-
πιπέδων. ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν·
ὧν, δὲ στερεῶν παραλληλεπιπέδων τὰ ὕψη πρὸς
ὀρθάς ἐστι ταῖς βάσεσιν αὐτῶν. ἀντιπεπόνθασι δὲ
αἱ βάσεις τοῖς ὕψεσιν. ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα
ἐστὶ τὸ ΒΤ στερεὸν τῷ ΔΦ στερεῷ· ἀλλὰ τὸ μὲν ΒΤ.
τῷ ΒΑ ἴσον ἐστίν. ἐπί τε γὰρ τῆς αὐτῆς βάσεως
ἐστὶ τῆς ΖΚ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ὧν, αἱ ἐφεστῶσαι
οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν· τὸ δὲ ΔΦ στερεὸν
τῷ ΔΓ στερεῷ ἴσον ἐστίν. ἐπί τε γὰρ πάλιν τῆς αὐ-
τῆς βάσεως ἐστὶ τῆς ΞΡ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος καὶ οὐ
κείμενα ἐπὶ ταῖς αὐταῖς εὐθείαις· καὶ τὸ ΑΒ ἄρα στερεὸν τῷ
ΔΓ στερεῷ ἐστὶν ἴσον. ὅπερ ἔδει δεῖξαι :–